Ἀριθμ. Πρωτ. 8

# ΠΑΤΡΙΑΡΧΙΚΗ ΚΑΙ ΣΥΝΟΔΙΚΗ ΠΡΑΞΙΣ ΚΑΤΑΤΑΞΕΩΣ ΕΝ ΤΩι ΑΓΙΟΛΟΓΙΩι ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΟΥ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΙΛΛΟΥ ΣΤ΄, ΤΟΥ ΑΠΟ ΑΔΡΙΑΝΟΥΠΟΛΕΩΣ

«Τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος τοῦ ἁγίου κτήσασθε διὰ τῆς πίστεως, ὅπως δυνηθῆτε δεχθῆναι εἰς τὰς αἰωνίους σκηνάς. Προσέλθετε εἰς τὴν μυστικὴν σφραγίδα, ἵνα εὔγνωστοι ἦτε τῷ δεσπότῃ· συγκαταριθμήθητε τῇ ἁγίᾳ καὶ λογικῇ τοῦ Χριστοῦ ποίμνῃ, εἰς τὰ δεξιὰ αὐτοῦ ἀφορισθησόμενοι, καὶ κληρονομοῦντες τὴν ἡτοιμασμένην ὑμῖν ζωήν» (Ἁγ. Κυρίλλου Ἱεροσολύμων, Κατήχησις α΄ φωτιζομένων, PG 33)

*«Ἐγὼ Κύριος ὁ ἁγιάζων ὑμᾶς»* (Λευ. κ΄, 8), *λέγει Κύριος Σαβαὼθ, ὅτι μόνος Αὐτὸς ἡ πηγὴ τῆς ἁγιασμοῦ καὶ πάσης ἀγαθωσύνης καὶ Αὐτὸς ἐστιν ὁ ἐξανιστῶν ἁγίους ἀπὸ καταβολῆς κόσμου ἕως τερμάτων αἰώνων.*

Χρέος ἱερόν τε καὶ ἀνυπέρθετον οἶδεν ἡ Ἁγία τοῦ Χριστοῦ Ἐκκλησία ἀναδεικνύειν καὶ ἐξαίρειν τὴν δόξαν καὶ τὸ κάλλος τῶν μακαρίων ἱεραρχῶν, τῶν διὰ τὸν τρόπον τῶν βίων ἀναδειχθέντων εἰς διαδοχὴν τῶν Ἀποστόλων, ὡς ἄλλοι μὲν τῷ τιμίῳ αὐτῶν αἵματι, ἕτεροι τῷ τῆς καλῆς ὁμολογίας σθένει, ἄλλοι τοῖς τῆς Θεολογίας κρουνοῖς καὶ τῆς ποιμαντικῆς ἐπιστήμης συγκροτήσει καί πάντως πάντες οἱ τῆς ἁγιότητος τοιοῦτοι ἐρασταὶ τῇ χριστομιμήτῳ αὐτῶν πολιτείᾳ ἐστερέωσαν τοὺς θεμελίους αὐτῆς καὶ κατεκόσμησαν τὸ διάδημα τοῦ κάλλους αὐτῆς, λίθοι πολυτιμότατοι καὶ οὗτοι καταστάντες, τῶν Ἁγίων Δώδεκα συνεχισταί, περὶ ὧν ὁ τῆς Θεολογίας ἐπώνυμος Ἰωάννης ἀποκαλυπτικῶς ἀναφέρει· *«ὁ πρῶτος ἴασπις, ὁ δεύτερος σάπφειρος, ὁ τρίτος χαλκηδών, ὁ τέταρτος σμάραγδος, ὁ πέμπτος σαρδόνυξ, ὁ ἕκτος σάρδιον, ὁ ἕβδομος χρυσόλιθος, ὁ ὄγδοος βήρυλλος, ὁ ἔνατος τοπάζιον, ὁ δέκατος χρυσόπρασος, ὁ ἑνδέκατος ὑάκινθος, ὁ δωδέκατος ἀμέθυστος»* (Ἀπ. κα΄, 19-20).

Χρέος ἱερὸν καὶ καθῆκον παρελάβομεν καί ἡμεῖς ἀπό τῶν Πατέρων καί ἀοιδίμων προκατόχων ἡμῶν Πατριαρχῶν καί Ἱεραρχῶν, ἵνα τοὺς κρυπτομένους ὑπὸ τὰ νέφη ἀστέρας ζητῶμεν καὶ ἀνευρίσκωμεν καί τιθέμεθα αὐτοὺς ὡς λύχνους φαεινούς ἐπὶ τὴν λυχνίαν ἵνα φαίνωσιν πᾶσιν ἀνθρώποις.

Τοίνυν τοὺς ἐν τῷ παρόντι βίῳ εὐσεβῶς καὶ χριστομιμήτως πολιτευσαμένους καὶ ἔργῳ καὶ λόγῳ ἀναλώσαντας ἑαυτοὺς ἐν τῇ διακονίᾳ τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπης, τοὺς ὑπέρ τῆς εἰς Χριστὸν πίστεως προκινδυνεύσαντας καὶ ἐν τέλει μαρτυρικῶς ἀθλήσαντας, σημείοις δὲ καὶ θαύμασι μαρτυρηθέντας καὶ τῶν πρὸς τοὺς ἐπικαλουμένους τὴν μεσιτείαν αὐτῶν εὐσεβεῖς Ὀρθοδόξους πιστούς αἰτημάτων θαυματουργικῶς ἱκανοποίησιν παρέχοντας, χρὴ τιμᾶν καὶ γεραίρειν καὶ ὕμνοις ἐγκωμιάζειν ἡ Ὀρθόδοξος ἡμῶν Ἐκκλησία, μετὰ τοῦ περιουσίου λαοῦ τοῦ Θεοῦ, συγκαταριθμοῦσα αὐτοὺς ἐν τῇ χορείᾳ τῶν Ἁγίων καὶ τῶν Μαρτύρων καὶ τὴν αὐτῶν ἐκζητοῦσα, ὡς πολλὰ ἰσχύουσαν, δέησιν καὶ μεσιτείαν πρὸς τὸν φιλάνθρωπον Θεόν,

ὑπὲρ ἀφέσεως ἁμαρτιῶν, ἰάσεως ἀσθενειῶν, προστασίας καὶ στηρίξεως ἐν τῇ πίστει καί, συνελόντι εἰπεῖν, ὑπὲρ ὠφελείας ψυχικῆς τε καὶ σωματικῆς τοῦ χριστωνύμου πληρώματος.

Τοιοῦτος τὸν βίον καὶ τὴν πολιτείαν κατεδείχθη καὶ ὁ ἐκ τῶν προκατόχων ἡμῶν ἀοίδιμος Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως. Νέας Ρώμης καί Οἰκουμενικὸς Πατριάρχης Κύριλλος Στ΄, ὅστις ἐγεννήθη ἐν Ἀδριανουπόλει, ἐν σωτηρίῳ ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ, λαβὼν ἐν τῷ θείῳ βαπτίσματι τὸ ὄνομα Κωνσταντῖνος. Χειροτονηθεὶς δὲ ἱεροδιάκονος παρὰ τοῦ τότε Μητροπολίτου Ἀδριανουπόλεως Καλλινίκου, τοῦ καὶ μετὰ ταῦτα Πατριάρχου Κωνσταντινουπόλεως, διηκόνησε μετ᾽ αὐτοῦ ἐν τῇ παλαιφάτῳ Μητροπόλει Νικαίας καὶ ἀκολούθως ἐν τῇ τῆς Ἐφέσου.

Ἡ Μήτηρ Ἐκκλησία, ἐπιβραβεύσασα τοὺς ὑπὲρ αὐτῆς ἀόκνους μόχθους τοῦ Ἀρχιδιακόνου Κυρίλλου καὶ τὰς περικοσμούσας αὐτὸν ἀρετάς, ἐξέλεξεν αὐτόν, ἐν ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ τρίτῳ, Μητροπολίτην τῆς Ἐπαρχίας Ἰκονίου, ἥν καὶ ἐποίμανε θεοφιλῶς ἐφ᾽ ὅλοις ἑπτὰ ἔτεσιν. Μετατεθεὶς δὲ εἰς τὴν Ἱερὰν Μητρόπολιν Ἀδριανουπόλεως, εἰργάσθη ἀόκνως πρὸς μεγίστην πνευματικὴν τοῦ ποιμνίου ὠφέλειαν, παρέχων ἑαυτὸν πρότυπον ἀρετῆς καὶ εὐαγγελικοῦ ἤθους. Ἀνελθὼν δέ εἰς τὸν πανένδοξον τῆς Κωνσταντινουπόλεως Οἰκουμενικὸν Θρόνον ἐν ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ δεκάτῳ τρίτῳ καὶ πατριαρχεύσας ἐπὶ ἑξαετίαν ἐμφρόνως καὶ θεαρέστως, ποιμαντικῶς δὲ διαπρέψας, παρῃτήθη οἰκειοθελῶς τοῦ Θρόνου καὶ ἐπανῆλθεν ἐν Ἀδριανουπόλει, τὰς ἡσυχίους διατριβὰς ποιούμενος καὶ χαίρων τῆς τιμῆς κλήρου καὶ λαοῦ. Κατὰ δὲ τὰς ἐκσπασάσας ἐν ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ εἰκοστῷ καὶ πρώτῳ μεγάλας ταραχάς, ὁ ἀοίδιμος Κύριλλος, τὸ κλέος τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, ἤθλησε τὸν τοῦ μαρτυρίου ἀγῶνα ὑπὲρ τῆς πίστεως, ἀγχόνῃ τελειωθεὶς τῇ ιη΄ τοῦ μηνός Ἀπριλίου, προσθήκη γενόμενος τοῖς ἀπ᾽ αἰῶνος ἁγίοις μάρτυσι, ταφὴν γνωρίσαν τὸ τίμιον αὐτοῦ σκῆνος ἐν τῷ χωρίῳ Πύθιον τοῦ Ἕβρου. Τὰ ἱερὰ αὐτοῦ λείψανα ἀργότερον μετεκομίσθησαν εἰς Ἀδριανούπολιν παρὰ τοῦ μακαρίου Μητροπολίτου Ἀδριανουπόλεως Γρηγορίου, τιμώμενα καί θαυματουργοῦντα, τῆς μνήμης αὐτοῦ ἀνεξιτήλου παραμεινάσης.

Ὁ ἱεράρχης οὗτος, κατὰ πάντα τὸν βίον ἀκηλίδωτον διήγαγε βιοτήν, τὴν ἑνότητα τῆς Ἐκκλησίας καὶ τῆς πίστεως διαφυλάξας, καὶ ὁδηγήσας τὸ ποίμνιον εἰς νομὰς ζωηφόρους. Ὁ δὲ Θεὸς τοῦ Ἐλέους καὶ τῆς Δικαιοσύνης, τὴν ἀρετὴν καὶ τὴν ἐν αὐτῷ ἐπαναπαυομένην Χάριν Αὐτοῦ θέλων ἀποκαλῦψαι, συνείργησεν ἵνα, ἔτι ζῶντος, ἀλλὰ καὶ μετὰ θάνατον, ἰσχυρὰν ἔχῃ τὴν ἐπίδρασιν ἐπὶ τῆς χριστιανικῆς συνειδήσεως τῶν πιστῶν ἐν Ἑλλάδι, κατὰ τὰ καὶ τῇ Μητρὶ Ἐκκλησίᾳ γνωστὰ καταστάντα ἐξ ἀξιοπίστων πολλῶν μαρτύρων, ἱστορούντων δὲ ἅμα τὰ περὶ αὐτοῦ καὶ τοῦ βίου του μεγάλα καὶ ἐξαίσια, ἔτι δὲ καὶ τὴν ὑπέρ τῆς διαφυλάξεως τοῦ ποιμνίου θυσιαστικὴν μέριμναν ἀναλαβόντος, θαυμαστὰ δὲ σημεῖα πολλὰ ἐπιτελοῦντος ὡς φίλου Χριστοῦ γνησιωτάτου.

Διὰ πάντων τούτων καταδεικνύεται ὁ ἱεράρχης οὗτος πρᾶος καὶ ταπεινός, εἰρηνικός, ἀπαθής, συμπαθὴς καί ἡσύχιος, ἀγωνιστὴς τῆς ἀληθείας καὶ πρὸς τὰς θείας ἀληθείας μυσταγωγός, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μιμητής, ἀνὴρ ὄντως ἅγιος κατά τε τὴν τῶν γνωρισάντων αὐτὸν μαρτυρίαν καὶ τὴν ἐπιβεβαίωσιν τῶν μετὰ τὸ

μαρτυρικὸν τέλος του σημείων, βαπτισθεὶς μὲ τὸ δι’ αἵματος βάπτισμα, ὅ δευτέροις ρύποις οὐ μολύνεται, κατὰ τὸν Θεολόγον Γρηγόριον.

Τούτου, ἀκολούθως, ἐν πόλεσι, Μοναῖς καὶ ναοῖς ἡ μνήμη τιμᾶται καὶ τὸ μνημόσυνον αὐτοῦ τελεῖται, ὕμνοι τε εἰς τιμὴν αὐτοῦ συνετέθησαν καὶ ἡ μορφὴ αὐτοῦ ἐν εἰκόσιν ἐξεικονίσθη, καὶ δημόκλητος ἐκφράζεται ἡ ἐπιθυμία ὅπως οὗτος ἐν τοῖς τιμωμένοις Ἁγίοις καὶ Μάρτυσι συγκαταριθμηθῇ καὶ ἡ μνήμη αὐτοῦ ἐπισήμως ἐν τῷ Ἑορτολογίῳ ὡς Ἁγίου καί Ἱερομάρτυρος ἐνταχθῇ.

Ὅθεν, ἡ Μετριότης ἡμῶν μετὰ τῶν περὶ ἡμᾶς Ἱερωτάτων Μητροπολιτῶν τῶν καὶ ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ὑπ᾽ ὄψιν λαβόντες τὴν ζῶσαν καὶ ἰσχυρὰν μαρτυρίαν καὶ τήν συνείδησιν τῶν πιστῶν περὶ τῆς ἁγιότητος τοῦ προειρημένου Προκατόχου ἡμῶν Πατριάρχου Κυρίλλου τοῦ Στ΄, τοῦ ἀπό Ἀδριανουπόλεως, τῆς ἐρειδομένης ἐπὶ τῆς ἁγίας του βιοτῆς, τῆς διὰ τοῦ λόγου καὶ τοῦ ἔργου αὐτοῦ διδαχῆς, οὐ μὴν καὶ τοῦ μαρτυρικοῦ αὐτοῦ ὑπὲρ τῆς πίστεως ἡμῶν τέλους, ἔτι δὲ καὶ τῆς πληθύος τῶν θαυμάτων, τῷ κοινῷ τῆς Ἐκκλησίας ἔθει καὶ τῇ μακραίωνι παραδόσει κατακολουθοῦντες, ὡς πρέπουσαν καὶ εὔλογον τὴν ἐπιθυμίαν καὶ τὴν κοινὴν συνείδησιν τοῦ φιλοχρίστου λαοῦ ἐκρίναμεν καὶ ἐστέρξαμεν καὶ ἀπεδεξάμεθα.

Θεσπίζομεν οὖν Συνοδικῶς καὶ ἐν Ἁγίῳ διακελευόμεθα Πνεύματι ὅπως ὁ εἰρημένος Οἰκουμενικὸς Πατριάρχης Κύριλλος ὁ Στ΄, ἐφ᾽ ἑξῆς συναριθμῆται τοῖς Ἁγίοις καὶ Μάρτυσι τῆς Ἐκκλησίας, τιμώμενος εἰς τὸν ἅπαντα αἰῶνα παρὰ τῶν πιστῶν καὶ ὕμνοις ἐγκωμίων γεραιρόμενος κατ᾽ ἔτος, τῇ ιη΄ τοῦ μηνός Ἀπριλίου, ἡμέρᾳ τῆς μαρτυρικῆς τελειώσεως αὐτοῦ (τῆς μνήμης αὐτοῦ δυναμένης, διὰ τὸν τῆς Ἁγίας καὶ Μεγάλης Τεσσαρακοστῆς καιρὸν μετατίθεσθαι κατὰ τὴν Κυριακὴν ἢ Δευτέραν τῆς φωτοφόρου τῆς Ψηλαφήσεως τοῦ Θωμᾶ Δεσποτικῆς ἑορτῆς).

Εἰς ἔνδειξιν δὲ τούτου ἀσφαλῆ καὶ διηνεκῆ τὴν βεβαίωσιν ἐγένετο καὶ ἡ παροῦσα Πατριαρχικὴ καὶ Συνοδικὴ ἡμῶν Πρᾶξις, καταστρωθεῖσα καὶ ὑπογραφεῖσα ἐν τῷδε τῷ Ἱερῷ Κώδικι τῆς καθ’ ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ,βκβ', κατά μῆνα Ἰανουάριον (ια')

ΕΠΙΝΕΜΗΣΕΩΣ ΙΕ'

Ὁ Κωνσταντινουπόλεως Βαρθολομαῖος ἀποφαίνεται

+ ὁ Χαλκηδόνος Ἐμμανουήλ
+ ὁ Μετρῶν καί Ἀθύρων Δημήτριος
+ ὁ Προικοννήσου Ἰωσήφ
+ὁ Σεβαστείας Σεραφείμ
+ὁ Μύρων Χρυσόστομος
+ὁ Μπουένος Ἄϊρες Ἰωσήφ
+ὁ Πριγκηποννήσων Δημήτριος
+ ὁ Ἀτλάντας Ἀλέξιος
+ ὁ Φιλαδελφείας Μελίτων
+ὁ Μυριοφύτου καί Περιστάσεως Εἰρηναῖος
+ὁ Κρήνης Κύριλλος
+ὁ Ἀδριανουπόλεως Ἀμφιλόχιος

Ὅ,τι ἀκριβές ἀντίγραφον
Ἐν τοῖς Πατριαρχείοις, τῇ 7η Ἀπριλίου 2022
Ὁ Ἀρχιγραμματεύς τῆς Ἁγίας καί Ἱερᾶς Συνόδου

ΓΡΑΦΕΙΟΝ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ

+ὁ Θ. Αρχιγρ.